Stob. 4. 54. 3. Latine reddit Cic. *Tusc.* 1. 117.

**22** Plato, *Tim.* 20e (Critias loquitur) ἦν μὲν οὖν (Solon) οἰκεῖος ἡμῖν καὶ σφόδρα φίλος Δρωπίδου τοῦ προπάππου, καθάπερ λέγει πολλαχοῦ καὶ αὐτὸς ἐν τῇ ποιήσει.
Id. *Charm.* 157e ἥ τε γὰρ πατρῴα ὑμῖν οἰκία, ἡ Κριτίου τοῦ Δρωπίδου, καὶ ὑπὸ Ἀνακρέοντος (fr. 180 Gentili, *Melici* 495) καὶ ὑπὸ Σόλωνος καὶ ὑπ' ἄλλων πολλῶν ποιητῶν ἐγκεκωμιασμένη παραδέδοται ἡμῖν, ὡς διαφέρουσα κάλλει τε καὶ ἀρετῇ καὶ τῇ ἄλλῃ λεγομένῃ εὐδαιμονίᾳ.

**22a** Procl. in *Tim.* l.c., i. 81 D. (schol. p. 280 Greene) Ἐξηκεστίδου παῖδες ἐγένοντο Σόλων καὶ Δρωπίδης, καὶ Δρωπίδου μὲν Κριτίας, οὗ μνημονεύει καὶ Σόλων ἐν τῇ ποιήσει, λέγων·

εἰπεῖν μοι Κριτίηι ξανθότριχι πατρὸς ἀκούειν·
οὐ γὰρ ἁμαρτινόωι πείσεται ἡγεμόνι.

1 Arist. *Rhet.* *A* 15 p. 1375b 34.

**23** Plato, *Lys.* 212e; Hermias in Pl. *Phaedr.* p. 38. 14 Couvreur; Theogn. 1253-4

ὄλβιος, ὧι παῖδές τε φίλοι καὶ μώνυχες ἵπποι
καὶ κύνες ἀγρευταὶ καὶ ξένος ἀλλοδαπός.

1 Ps.-Luc. *amores* 48.

**24** Theogn. 719 - 28, unde Stob. 4. 33. 7

ἶσόν τοι πλουτέουσιν, ὅτωι πολὺς ἄργυρός ἐστι